# Decretum ad abbatem montis Sinai

Εἰ δὲ καὶ ἀνδράσι τοῖς περιδεξίοις εἰς ὑπηρεσίαν τῶν βασιλέων ἀρχόντων καταστρατηγῆσαι ἢ πόλεων διοικήσεις ἐγχειρισθῆναι ἢ λαοὺς ὁδηγῆσαι ἢ καὶ ἄλλ' ἄττα τοιαῦτα πράττειν δεδομένοις τῷ κράτει τῆς τῶν Ῥωμαίων ἀρχῆς φαινόμενα χρήσιμα τιμὴν ἐπιμετρεῖ τὴν προσήκουσαν τῶν ὑπηκόων ὅσοι εὐγνώμονες, οἱ ἡγούμενοι δίκαιοι ἂν εἶεν <οἱ> τὸ τῆς ὑποθήκης τούτων βλέπειν [τὸ] πέρας ἐπιδεχόμενοι, ἀνδρῶν σεμνῶν καὶ βίῳ καὶ τρόπῳ καὶ θεῷ πλησιαζόντων, οὐχ ὅσα τῶν κατὰ τὰ ἐκτὸς συντεινόντων, ἀλλὰ κρείττω καὶ εἰς ψυχὴν αὐτὴν παραπέμποντα τὴν ὠφέλειαν, μᾶλλον δὲ καὶ τοῦτο κἀκεῖνο περιποιούμενα τοῖς ἐκ τῆς ἄνωθεν δεξιᾶς προβαλλομένης [τοῖς] αὐτοκράτορσι· πῶς οὐκ ἂν εἴη τῶν καθηκόντων ἐπικλινὲς ὠτίον βραβεύειν καὶ εἰς τέλος ἄγειν ἅπερ <ἂν> αἰτήσαιντο; εἰ δὲ καὶ ἄλλως τῇ δεήσει τιμᾶται τὸ εὔλογον, οὐχ ὅπως διὰ τὴν τούτων παράκλησιν, ἄλλ' ἤδη καὶ καθ' αὐτὸ τὸ πρᾶγμα ἀξίως ἔχει γενέσθαι, τηνικαῦτα καὶ μᾶλλον ταῖς αἰτήσεσι τούτων ἐπαινετέον τοὺς ἄνακτας καὶ παρεκτέον ἅπερ ἐθέλοιεν, ἵν' εἶεν οὐ μόνον αὐτοῖς, ἀλλὰ καὶ τῷ δικαίῳ κατὰ τὸ εἰκὸς χαριζόμενοι. τοῦτο καὶ ἄρτι τῇ βασιλείᾳ μου πάρεστιν ἰδεῖν ἐκτελούμενον, δωρουμένῃ τοῖς ἐν τῷ ὄρει Σινᾷ τιμὴν τὴν ὑπέρτιμον· τοῦτο μὲν δι' ἱκεσίαν ἣν ἐποιήσατο πρὸς ἐμὲ ὁ Πτολεμαΐδος μητροπολίτης ὁ ἱερώτατος καὶ ὑπέρτιμος. οὐ γὰρ ἔκρινα ὅλως ἄξιον μὴ πειθηνίους τούτῳ δοῦναι τὰς ἀκοὰς εὔλογα αἰτουμένῳ καὶ ἃ μὴ τετελεσμένα τῷ δικαίῳ τινὰ ζημίαν ἂν προεξένησαν. τοῦτο δὲ καὶ [τὸ] ἄλλως ἡγεῖσθαι τὸ τοιοῦτον ὄρος αἰδέσιμον καὶ τιμῆς ἁπάσης ἐπαπολαύειν δίκαιον ὄν, καὶ νομίζειν μᾶλλον τιμᾶσθαι τὴν βασιλείαν μου ἐκ τῆς πρὸς τοῦτο τιμῆς, ἐπεὶ καὶ δοξάζειν οἶδε θεὸς τοῖς τοῦτο δοξάζουσιν. ὄρος γὰρ τοῦτο ὑπερηρμένον τῶν καθ' ἡμᾶς ὄρος θεῖον καὶ ἀββακοὺμ δασὺ καὶ κατάσκιον ταῖς τῶν ἁγίων ἐργασίαις καὶ ἀρεταῖς παντοίαις κατάκομον. εἰ δὲ καὶ ἁγιάσματος τόπον καλέσαι τις βούλεται καὶ οἶκον τοῦ θεοῦ Ἰακώβ, προσφυὲς μὲν τὸ πρᾶγμα καὶ τῆς ἀληθείας ἄκρως ἐχόμενον· κἂν τις θεωροίη τρανώ τερον, πλήρης ὁ θεῖος οὗτος οἶκος δόξης πολλῆς πλὴν ἔσται, κἂν <ἐν> τοῖς ἐσχάτοις τούτοις καιροῖς μέρος ᾖ δόξης ἀπονενεμημένον τούτῳ παρὰ τῆς βασιλείας μου. οὕτω καὶ ἣν εἶχε πάλαι ἴδοι τις ἂν ἐπὶ τὸ μεῖζον κατὰ τὸν προφήτην προκόπτουσαν. Ταῦτα γοῦν τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα βούλεται. τιμᾷ γὰρ ἡ βασιλεία μου τὸν κατὰ καιροὺς ἐν τῷ Σινᾷ προστησόμενον τῶν ὑπερτίμων τῷ ἀξιώματι, καὶ διορίζεται συναριθμεῖσθαι τρίτον τοῖς οὕτω τετιμημένοις ἐν ἅπασι καὶ συντιμᾶσθαι ἐν ταῖς προόδοις, καθέδραις, στάσεσί τε καὶ συνελεύσεσιν· ἀμφιέννυσθαι δὲ καὶ ἄμφια ὁποῖα καὶ τῶν ἀρχιερέων, ὁπόσοι τὴν τοιαύτην τιμὴν ἐκ τῶν ἔκαθεν χρόνων καὶ νῦν ἀπέλαβον. τἆλλα τε πάντα ὅσα τούτοις, καὶ τούτῳ πρόσεσται, κατὰ μηδὲν ἐλαττούμενα. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν ὁρισμὸς τῆς βασιλείας μου. κατὰ μῆνα Ἰούλιον, ἰνδικτίωνος ιδ΄.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).

Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.